## HERODOTUS, HISTORIES, 1.10–12

8. [1] οὗτος δὴ ὦν
ὁ Κανδαύλης ἠράσθη
τῆς ἑωυτοῦ γυναικός,
ἐρασθεὶς δὲ
ἐνόμιζέ οἱ εἶναι γυναῖκα
πολλὸν πασέων καλλίστην.

ὥστε δὲ ταῦτα νομίζων,
ἦν γάρ οἱ τῶν αἰχμοφόρων
Γύγης ὁ Δασκύλου
ἀρεσκόμενος μάλιστα,
τούτῳ τῷ Γύγῃ
καὶ τὰ σπουδαιέστερα   τῶν πρηγμάτων
  ὑπερετίθετο ὁ Κανδαύλης
καὶ δὴ καὶ
  τὸ εἶδος   τῆς γυναικὸς
  ὑπερεπαινέων.

[2] χρόνου δὲ οὐ πολλοῦ διελθόντος
(χρῆν γὰρ Κανδαύλῃ
γενέσθαι κακῶς)
ἔλεγε   πρὸς τὸν Γύγην   τοιάδε.
«Γύγη,
οὐ γάρ σε δοκέω
πείθεσθαι μοι λέγοντι
περὶ τοῦ εἴδεος   τῆς γυναικός
(ὦτα γὰρ
τυγχάνει ἀνθρώποισι ἐόντα
ἀπιστότερα ὀφθαλμῶν),
ποίεε ὅκως
ἐκείνην θεήσεαι γυμνήν.»

**EXERCISE**: *Rewrite the following passage by phrase.*

[3] ὁ δ᾽ ἀμβώσας εἶπε «δέσποτα, τίνα λέγεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή.

[4] πάλαι δὲ τὰ καλὰ
ἀνθρώποισι ἐξεύρηται,
ἐκ τῶν
μανθάνειν δεῖ·
ἐν τοῖσι
ἓν τόδε ἐστί,
σκοπέειν τινὰ τὰ ἑωυτοῦ.

ἐγὼ δὲ πείθομαι
ἐκείνην εἶναι
πασέων γυναικῶν   καλλίστην,
καὶ σέο δέομαι
μὴ δέεσθαι ἀνόμων.»

9. [1] ὁ μὲν δὴ λέγων τοιαῦτα
ἀπεμάχετο,
ἀρρωδέων μὴ
→ τί οἱ
ἐξ αὐτῶν
γένηται κακόν,
ὁ δ᾽ ἀμείβετο τοῖσιδε.
«θάρσεε, Γύγη,
καὶ μὴ φοβεῦ
μήτε ἐμέ,
  ὡς σέο πειρώμενος
  λέγω λόγον τόνδε,
μήτε γυναῖκα τὴν ἐμήν,
→ μή τί τοι
  ἐξ αὐτῆς
  γένηται βλάβος.

ἀρχὴν γὰρ
ἐγὼ μηχανήσομαι οὕτω
ὥστε μηδὲ μαθεῖν
μιν ὀφθεῖσαν
ὑπὸ σεῦ.

[2] ἐγὼ γάρ σε
ἐς τὸ οἴκημα
ἐν τῷ κοιμώμεθα
ὄπισθε τῆς ἀνοιγομένης θύρης
στήσω.

μετὰ δ᾽ ἐμὲ ἐσελθόντα
παρέσται καὶ ἡ γυνὴ ἡ ἐμὴ
ἐς κοῖτον.
κεῖται δὲ   ἀγχοῦ τῆς ἐσόδου   θρόνος·

ἐπὶ τοῦτον
τῶν ἱματίων
κατὰ ἕν ἕκαστον
ἐκδύνουσα θήσει,
καὶ
κατ᾽ ἡσυχίην πολλὴν
παρέξει τοι θεήσασθαι.

[3] ἐπεὰν δέ ἀπὸ τοῦ θρόνου στείχῃ
ἐπὶ τὴν εὐνήν
κατὰ νώτου
τε αὐτῆς γένῃ,
σοὶ μελέτω
τὸ ἐνθεῦτεν
ὅκως μὴ σε ὄψεται
ἰόντα διὰ θυρέων.»